θεοῖς, καὶ τὴν ἀνάπαυσιν ἔχειν περὶ αὐτοὺς τοὺς διὰ τὸν χρόνον ἀπειρηκότας, τούτοις ἂν εἴη τὰς ἱεροσύνας ἀποδοτέον. ὧν μὲν τοίνυν ἄνευ πόλις οὐ συνίσταται, καὶ ὅσα μέρη πόλεως, εἴρηται. γεωργοὶ μὲν γὰρ, καὶ τεχνῖται καὶ πᾶν τὸ θητικὸν, ἀναγκαῖον ὑπάρχειν ταῖς πόλεσι· μέρη δὲ τῆς πόλεως, τό τε ὁπλιτικὸν, καὶ βουλευτικόν· καὶ κεχώρισται δὴ τούτων ἕκαστον, τὸ μὲν ἀεί· τὸ δὲ κατὰ μέρος.

Κεφάλαιον ι.

Ἔοικε δ' οὐ νῦν, οὐδὲ νεωστὶ τοῦτ' εἶναι γνώριμον τοῖς περὶ πολιτείας φιλοσοφοῦσιν, ὅτι δεῖ διῃρῆσθαι χωρὶς κατὰ γένη τὴν πόλιν, καὶ τό τε μάχιμον ἕτερον εἶναι, καὶ τὸ γεωργοῦν. ἐν Αἰγύπτῳ τε γὰρ ἔχει τὸν τρόπον τοῦτον ἔτι καὶ νῦν· τά τε περὶ τὴν Κρήτην. τὰ μὲν οὖν περὶ Αἴγυπτον, Σεσώστριος, ὥς φασιν, οὕτω νομοθετήσαντος· Μίνω δὲ τὰ περὶ Κρήτην. ἀρχαία δ' ἔοικεν εἶναι καὶ τῶν συσσιτίων ἡ τάξις· τὰ μὲν περὶ Κρήτην, γενόμενα περὶ τὴν Μίνω βασιλείαν· τὰ δὲ περὶ τὴν Ἰταλίαν, πολλῷ παλαιότερα τούτων. φασὶ γὰρ οἱ λόγιοι τῶν ἐκεῖ κατοικούντων Ἰταλόν τινα γενέσθαι βασιλέα τῆς Οἰνωτρείας· ἀφ' οὗ τό τε ὄνομα μεταβαλόντας, Ἰταλοὺς ἀντ' Οἰνωτρῶν κληθῆναι· καὶ τὴν ἀκτὴν ταύτην τῆς Εὐρώπης, Ἰταλίαν τοὔνομα λαβεῖν, ὅση τετύχηκεν ἐντὸς οὖσα τοῦ Σκυλλητικοῦ, καὶ τοῦ Λαμητικοῦ· ἀπέχει γὰρ ταῦτα ἀπ' ἀλλήλων ὁδὸν ἡμισείας ἡμέρας. τοῦτον δὴ λέγουσι τὸν Ἰταλὸν, νομάδας τοὺς Οἰνωτροὺς ὄντας, ποιῆσαι γεωργούς· καὶ νόμους ἄλλους τε αὐτοῖς θέσθαι, καὶ τὰ συσσίτια καταστῆσαι πρῶτον. διὸ καὶ νῦν ἔτι τῶν ἀπ' ἐκείνου τινὲς χρῶνται τοῖς συσσιτίοις, καὶ τῶν νόμων ἐνίοις. ᾤκουν δὲ τὸ μὲν πρὸς τὴν Τυρρηνίαν Ὀπικοὶ, καὶ πρότερον καὶ νῦν καλούμενοι τὴν ἐπωνυμίαν Αὔσονες· τὸ δὲ πρὸς τὴν Ἰαπυγίαν καὶ τὸ Ἰόνιον Χῶνες, τὴν καλουμένην Σύρτιν. ἦσαν δὲ καὶ οἱ Χῶνες Οἰνωτροὶ τὸ γένος. ἡ μὲν οὖν τῶν συσσιτίων τάξις ἐντεῦθεν γέγονε πρῶτον· ὁ δὲ χωρισμὸς ὁ κατὰ γένος, τοῦ πολιτικοῦ πλήθους, ἐξ Αἰγύπτου· πολὺ γὰρ ὑπερτείνει τοῖς χρόνοις τὴν Μίνω βασιλείαν ἡ Σεσώστριος. σχεδὸν μὲν οὖν καὶ τὰ ἄλλα δεῖ νομίζειν εὑρῆσθαι πολλάκις ἐν τῷ πολλῷ χρόνῳ, μᾶλλον δ' ἀπειράκις. τὰ μὲν γὰρ ἀναγκαῖα τὴν χρείαν διδάσκειν εἰκὸς αὐτήν· τὰ δ' εἰς εὐσχημοσύνην καὶ περιουσίαν ὑπαρχόντων

A Diis cultum exhibere,& requiem ſuſcipere eos, qui pro tempore in his laborauerunt ac defeſſi ſunt, his vtique eſſet ſacrorum cura demandanda. Quæ ſint igitur, ſine quibus ciuitas ſtare nõ poteſt,& quot ſint ciuitatis partes,dictum ſit. Agricolas enim & artifices,& omne miniſterium ciuitatibus exiſtere neceſſarium eſt.Sed partes ciuitatis ſunt qui arma tenent, & qui conſultant. & ſeparatum eſt vnumquodque
B que iſtorum : hoc quidem ſemper, hoc verò ſecundum partem.

CAPVT X.

Videtur autem non nunc, neque paulo antè hoc notum fuiſſe his, qui de republica philoſophantur, quòd per genera ſit ciuitas diſtinguenda: & pugnatorum genus aliud eſſe, aliud agricolarum. nam & in Aegypto vſque ad hoc tempus, in hunc modum ſe habet, & in Creta. in
C Aegypto quidem Seſoſtri legem ferente. in Creta verò Minoë. Antiqua videtur etiam comeſſationum inſtitutio, quòd in Creta factum eſt Minoë regnãte: ſed multo prius hoc in Italia quàm in Creta conſtitutum fuit. Tradunt enim periti homines illorum locorum, fuiſſe Italum quendam Oenotria regem, à quo mutato nomine pro Oenoris Itali ſunt vocitati, orámque illam maritimam Europæ,quæ eſt
D inter Scyllaticum & Lamecicum ſinum (diſtant verò hæc loca inter ſe meridiei iter) Italiæ nomen primo cœpiſſe. Hunc ergo Italum tradunt agriculturam Oenotros docuiſſe, cùm prius eſſent paſtores vagi,ac palantes,illíſque leges poſuiſſe, & comeſſationes inſtituiſſe primum. Quapropter etiam nunc quidam illorum populorum comeſſationibus vtuntur, & legibus quibuſdam ab illo poſitis. Incolebant autem eam Italiæ partem, quæ ad
E Tyrrheniam verſa eſt Opici qui nunc Auſonij nominantur. Alteram vero partem quæ ad Iapygiam & Ionium pertinet, incolebant Chaones,Syrtim appellatam : & ipſi quoque ab Oenotris orti. Inuentio igitur comeſſationum hinc primum extitit.Diuiſio autem ciuitatis, per genera, apud Aegyptum incœpit. Seſoſtris enim multis temporibus ante fuit, quàm Minos in Creta regnaret.Et alia ferè credendum
F eſt eodem modo inuenta fuiſſe multoties in longo tempore, imò vero infinities. Nam quæ neceſſaria ſunt ad vſum vitæ, indigentiam ipſam docuiſſe rationabile eſt : & illis repertis additamenta